Εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
Λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
Κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
Βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
Ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον.
Ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
Ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
Πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
Νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
Ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
Οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
Νίκη δ', ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
Οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
Λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
Τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
Μαθοῦσ' ἐμαυτῆς δύσφορον λέξω βίον,
Τοσόνδ', ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ.
Τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
Ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακὸν,
Πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
Καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
Κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
Καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
Ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
Φάτις, τέτρωται δικτύου πλέω λέγειν.
Εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυνον λόγοι,
Τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
Πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
Χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβὼν,
Ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
Τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
Πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
Ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.

---

686. MSS. πήματος τρέψαι νόσον 699. MSS. ἡδονὰς 703. MSS. ᾠχετεύετο 707. f. μορφὴν ἄν. 712. f. λελειμμένης